UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

In Sexto Libro Ecclesiasticae Historiae Socratis Scholastici haec continentur.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

Τάδε περιέχει καὶ ἡ ἕκτη βίβλος τῆς ἐκκλησιαστικῆς ἱστορίας Σωκράτους σχολαστικοῦ.

α΄. Ὡς τοῦ βασιλέως Θεοδοσίου τελευτήσαντος, τῶν υἱῶν αὐτοῦ διανειμαμένων τὴν βασιλείαν, καὶ τοῦ στρατοῦ μετ᾽ ὀλίγον ἀπὸ τῆς Ἰταλίας ἐλθόντος, τοῦ τε Ἀρκαδίου αὐτοῖς ὑπαντήσαντος, Ῥουφῖνος ὁ ὕπαρχος πρὸς τοῖς ποσὶ τοῦ βασιλέως, ὑπ᾽ αὐτῶν ἀναιρεῖται.

β΄. Περὶ τῆς τελευτῆς Νεκταρίου, καὶ τῆς Ἰωάννου χειροτονίας.

γ΄. Περὶ γένους, καὶ ἀγωγῆς βίου Ἰωάννου τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου.

δ΄. Περὶ Σαραπίωνος τοῦ διακόνου, καὶ ὅπως δι᾽ αὐτὸν ὁ ἐπίσκοπος ἐχθρὸς τῷ κλήρῳ κατέστη καὶ πολέμιος.

ε΄. Ὅπου πρὸς τοὺς ἐν τῷ κλήρῳ μόνον Ἰωάννης, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τέλει διεφέρετο, καὶ περὶ Εὐτροπίου τοῦ εὐνούχου.

ς΄. Περὶ τῆς τυραννίδος Γαϊνᾶ τοῦ Γότθου, καὶ τῆς ὑπ᾽ αὐτοῦ γενομένης ταραχῆς ἐν Κωνσταντινουπόλει, καὶ περὶ τῆς ἀναιρέσεως αὐτοῦ.

ζ΄. Περὶ τοῦ γενομένου σχίσματος μεταξὺ τοῦ Ἀλεξανδρείας Θεοφίλου, καὶ τῶν μοναζόντων τῆς ἐρήμου· καὶ ὡς τὰ Ὠριγένους ὁ Θεόφιλος βιβλία ἀνεθεμάτισεν.

η΄. Περὶ τῶν συνάξεων τῶν νυκτερινῶν ὕμνων τῶν τε Ἀρειανῶν, καὶ τῶν τὸ ὁμοούσιον πρεσβευόντων, καὶ περὶ τῆς γενομένης ἐν αὐτοῖς συμβολῆς· καὶ ὅτι ἡ τῶν ἀντιφώνων ὑμνῳδία ἀπὸ Ἰγνατίου τοῦ Θεοφόρου τὴν ἀρχὴν ἔσχεν.

θ΄. Περὶ τῶν Μακρῶν καλουμένων μοναχῶν, καὶ ὅπως δι᾽ αὐτοὺς ἄσπονδον ἔχθραν ὁ Θεόφιλος πρὸς Ἰωάννην ἐσχηκώς, καθαιρῆσαι τοῦτον ἐσπούδαζεν.

ι΄. Ὡς καὶ Ἐπιφάνιος ὁ Κύπρου ταῖς Θεοφίλου ἀπάταις συναπαχθείς, τῷ δόξαι καὶ τῶν Ὠριγένους συγγραμμάτων, ἐπισκόπων σύνοδον ἐν τῇ Κύπρῳ συναγαγών, Ἰωάννῃ διεμέμψατο, χρωμένῳ ταῖς βίβλοις Ὠριγένους.

ια΄. Περὶ Σευηριανοῦ, καὶ Ἀντιόχου τῶν Σύρων, ὅπως Ἰωάννου ἀπέστησαν, καὶ διὰ ποίας αἰτίας.

ιβ΄. Ὡς καὶ ἐν Κωνσταντινουπόλει εἰσελθὼν ὁ Ἐπιφάνιος, συνάξεις καὶ χειροτονίας ἐπιτέλει παρὰ γνώμην τοῦ Ἰωάννου, Θεοφίλῳ χαριζόμενος.

ιγ΄. Οἷα φησὶν ὁ συγγραφεὺς ὑπὲρ Ὠριγένους.

ιδ΄. Ὡς Ἰωάννης προσκαλεσάμενος τὸν Ἐπιφάνιον, μὴ ὑπακούσαντα, ἀλλὰ μᾶλλον καὶ ἐν τῇ τῶν Ἀποστόλων ἐκκλησίᾳ παρασυνάγοντα, δηλοῖ αὐτῷ μεμφόμενος, ὡς παρὰ κανόνας πολλὰ πράττοντι· ὅθεν ὁ Ἐπιφάνιος εὐλαβηθεὶς ἀνεχώρησε.

ιε΄. Ὡς μετὰ τὸν ἀπόπλουν Ἐπιφανίου, λόγον κατὰ γυναικῶν Ἰωάννης δημηγορήσας, καὶ διὰ τοῦτο σπουδῇ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης, συνόδου γενομένης ἐν Χαλκηδόνι κατ᾽ αὐτοῦ, τῆς ἐκκλησίας ἐξωθεῖται.

ις΄. Ὡς τοῦ λαοῦ στασιάσαντος, διὰ τὴν ἀπαγωγὴν Ἰωάννου, Βρίσων ὁ τῆς βασιλίδος εὐνοῦχος ἀποσταλείς, πάλιν αὐτὸν ἐπανήγαγεν ἐν Κωνσταντινουπόλει.

ιζ΄. Ὡς διὰ τὸ βούλεσθαι Θεόφιλον, τὰ καθ᾽ Ἡρακλείδου ἀπόντος ἐξετάζεσθαι, τῶν Ἰωάννου ἀντιλεγόντων, συμπληγάδος γενομένης, πολλοὶ ἀπώλοντο μεταξὺ τῶν Κωνσταντινουπολιτῶν καὶ τῶν Ἀλεξανδρέων· ἐφ᾽ οἷς φοβηθεὶς Θεόφιλος, καί τινες τῶν ἐπισκόπων, τῆς πόλεως ἐξεληλύθασι.

ιη'. Περὶ τῆς ἀργυρᾶς στήλης τῆς εὐδοξίας, καὶ ὡς διὰ τοῦτο πάλιν Ἰωάννης τῆς ἐκκλησίας ἐξωσθεὶς, εἰς ἐξορίαν ἀπήγετο.

ιθ'. Περὶ Ἀρσακίου τοῦ μετὰ Ἰωάννην χειροτονηθέντος, καὶ περὶ κυρίνου τοῦ χαλκηδόνος.

κ'. Ὡς μετὰ Ἀρσάκιον, Ἀττικὸς τὸν κωνσταντίνου πόλεως θρόνον κατέσχεν.

κα'. Περὶ τῆς Ἰωάννου ἐν ἐξορίᾳ πρὸς κύριον ἀναλύσεως.

κβ'. Περὶ σισιννίου ἐπισκόπου ναυατιανῶν, οἷα φησὶ προσωμιληκέναι πρὸς Ἰωάννην.

κγ'. Περὶ τῆς Ἀρκαδίου τοῦ βασιλέως τελευτῆς.

---

## *IN SEXTO LIBRO ECCLESIASTICÆ Historiæ Socratis Scholastici hæc continentur.*

I. Quomodo post obitum Imp. Theodosii, cum filii ejus Imperium partiti essent, & redeuntibus ex Italia militibus Arcadius occurrisset, Rufinus præfectus Prætorio ad pedes Imperatoris ab ipsis occisus est.

II. De obitu Nectarii & Joannis ordinatione.

III. De genere & institutione Joannis Episcopi Constantinopolitani.

IV. De Serapione Diacono, & quomodo Joannes ejus causâ Clericis suis invisus exstiterit.

V. Quod Joannes non solum adversus Clericos, verum etiam adversus Optimates simultates habuerit, & de Eutropio Eunucho.

VI. De Gainæ Gotthi Tyrannide, & de tumultu quem Constantinopoli excitavit, deque ejus nece.

VII. De dissidio quod inter Theophilum Alexandrinum, & Monachos in solitudine degentes, exortum est: & quomodo Theophilus libros Origenis anathemate damnavit.

VIII. De Collectis nocturnorum Hymnorum, tam Arianorum, quam Homousianorum, & de pugna in illis facta: Et quòd cantus Antiphonarum ab Ignatio Deifero est institutus.

IX. De Monachis cognomento Longis: Et quomodo Theophilus cum implacabiles inimicitias adversus Joannem eorum causâ suscepisset, deponere illum conatus est.

X. Quomodo etiam Epiphanius Episcopus Cypri, dolis Theophili deceptus, Collecta Episcoporum Synodo adversus Origenis libros, Joannem ob eorum librorum lectionem reprehenderit.

XI. De Severiano & Antiocho Syris, & quomodo, quibusque de causis à Joanne discesserint.

XII. Quomodo Epiphanius cum venisset Constantinopolim, Collectas & Ordinationes absque Joannis permissu celebravit, ut Theophilo gratificaretur.

XIII. Quid hic Scriptor pro defensione Origenis dicat.

XIV. Quomodo Joannes cum Epiphanium ad se vocasset, & ille vocatus non paruisset, sed in Ecclesia Apostolorum conventus celebrare pergeret, monuit eum ac reprehendit quòd multa contra Canones faceret. Quâ re territus Epiphanius in patriam rediit.

XV. Quomodo post discessum Epiphanii, cum Joannes adversus mulieres orationem habuisset, ob eam causam collecta adversus ipsum Synodo apud Chalcedonem studio Imperatoris & Augustæ, Ecclesia expulsus est.

XVI. Qualiter exorta populi seditione eo quod Ioannes in exilium duceretur, Briso Eunuchus Augustæ missus, eum Constantinopolim reduxit.

XVII. Quomodo cum Theophilus Heraclidis absentis causam examinari vellet, & Joannes reclamaret, ortâ contentione inter Constantinopolitanos & Alexandrinos, multi utrinque ceciderunt, quâ re territus Theophilus, aliique Episcopi e Civitate aufugerunt.
XVIII. De argentea Eudoxiæ statua: Et quomodo Joannes ob eam causam Ecclesiâ denuo pulsus, in exilium abductus est.
XIX. De Arsacio qui post Joannem ordinatus est, & de Cyrino Chalcedonis Episcopo.
XX. Quomodo post mortem Arsacii, Atticus Constantinopolitanam sedem obtinuit.
XXI. De Joannis obitu in exilio.
XXII. De Sisinnio Novatianorum Episcopo, & de congressu quem cum Joanne habuisse dicitur.
XXIII. De obitu Imp. Arcadii.

# SOCRATIS SCHOLASTICI ECCLESIASTICÆ HISTORIÆ LIBER VI.

# ΣΩΚΡΑΤΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΒΙΒΛΙΟΝ ϛ΄.

## *PROOEMIUM.*

A Munus quod nobis injunxeras, sacratissime vir Dei Theodore, quinque superioribus libris absolvimus: quibus rerum Ecclesiasticarum Historiam jam inde à Constantini temporibus pro virili parte complexi sumus. Scias porro nos verborum elegantiæ non magnam curam habuisse. Illud enim consideravimus, nos si sermonis ornatum consectati essemus, à proposito fortasse aberraturos fuisse. Si vero propositum assecuti essemus, non tamen à nobis talia omnino posse conscribi, qualia sunt à veteribus Historicis elaborata: B quibus quispiam aut amplificare res gestas aut imminuere se posse, non immerito existimaverit. Adde quod hujusmodi oratio prorsus inutilis fuisset vulgaribus ac simplicioribus hominibus, qui res gestas duntaxat cognoscere student: non dictionem tanquam venuste compositam admirari. Itaque ne opus nostrum doctis simul atque indoctis infructuosum existeret: doctis quidem propterea quod cum veterum in scribendo elegantia conferri minime posset: indoctis vero, quod res

## ΠΡΟΟΙΜΙΟΝ.

Τὸ μὲν ἐπίταγμά σου ὦ ἱερὲ τοῦ θεοῦ ἄνθρωπε Θεόδωρε, ἐν πέντε τοῖς προλαβοῦσι βιβλίοις διεπονησάμεθα, ὡς οἶμαι τὴν ἀπὸ τῶν Κωνσταντίνου χρόνων ἐκκλησιαστικὴν ἱστορίαν συγγράψαντες. ἴσθι δὲ ἡμᾶς μὴ ἐσπουδακέναι περὶ τὴν φράσιν, ἐνοήσαντας ὡς εἰ σπουδάσαιμεν καλλιλογίᾳ χρήσασθαι, ἴσως μὲν καὶ ἀποπεσούμεθα τοῦ σκοποῦ· εἰ δὲ καὶ ἐπιτευξόμεθα, οὐ τοιαῦτα πάλιν δυνησόμεθα γράφειν, οἷα τοῖς παλαιοῖς συγγραφεῦσιν εἴρηται, δι' ὧν αὔξειν τὰ ἔργα ποιεῖν νομίζοιτο ἄν τις τὰ πράγματα· ἔπειτα δὲ καὶ οὐδαμῶς οἰκοδομήσει τοὺς πολλοὺς καὶ ἰδιώτας ὁ λόγος, οἳ τὰ πράγματα βούλονται μόνον εἰδέναι, οὐ τὴν λέξιν ὡς καλῶς συγκειμένην θαυμάσαι. ἵνα οὖν μὴ ἀμφοτέροις ἀνόνητος ἡ πραγματεία γένηται, τοῖς μὲν εὐπαιδεύτοις, ὅτι οὐκ ἀξία τῇ παλαιᾷ φράσει συγκρίνεσθαι, τοῖς δὲ ἰδιώταις, ὅτι μὴ δύνανται ἐφικ-